ἀπέθανεν δὲ Ηρ καὶ Αυναν ἐν γῇ Χανααν· ἐγένοντο δὲ υἱοὶ Φαρες
Ασρων καὶ Ιεμουηλ. 13 υἱοὶ δὲ Ισσαχαρ· Θωλα καὶ Φουα καὶ Ια- 13
σουβ καὶ Ζαμβραμ. 14 υἱοὶ δὲ Ζαβουλων· Σερεδ καὶ Αλλων καὶ 14
Αλοηλ. 15 οὗτοι υἱοὶ Λειας, οὓς ἔτεκεν τῷ Ιακωβ ἐν Μεσοποταμίᾳ 15
τῆς Συρίας, καὶ Διναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαί, υἱοὶ
καὶ θυγατέρες, τριάκοντα τρεῖς. — 16 υἱοὶ δὲ Γαδ· Σαφων καὶ Αγγις 16
καὶ Σαυνις καὶ Θασοβαν καὶ Αηδις καὶ Αροηδις καὶ Αροηλις. 17 υἱοὶ 17
δὲ Ασηρ· Ιεμνα καὶ Ιεσουα καὶ Ιεουλ καὶ Βαρια, καὶ Σαρα ἀδελφὴ
αὐτῶν. υἱοὶ δὲ Βαρια· Χοβορ καὶ Μελχιηλ. 18 οὗτοι υἱοὶ Ζελφας, 18
ἣν ἔδωκεν Λαβαν Λεια τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκεν τούτους τῷ
Ιακωβ, δέκα ἓξ ψυχάς. — 19 υἱοὶ δὲ Ραχηλ γυναικὸς Ιακωβ· Ιωσηφ 19
καὶ Βενιαμιν. 20 ἐγένοντο δὲ υἱοὶ Ιωσηφ ἐν γῇ Αἰγύπτῳ, οὓς ἔτεκεν 20
αὐτῷ Ασεννεθ θυγάτηρ Πετεφρη ἱερέως Ἡλίου πόλεως, τὸν Μα-
νασση καὶ τὸν Εφραιμ. ἐγένοντο δὲ υἱοὶ Μανασση, οὓς ἔτεκεν
αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχιρ· Μαχιρ δὲ ἐγέννησεν τὸν
Γαλααδ. υἱοὶ δὲ Εφραιμ ἀδελφοῦ Μανασση· Σουταλααμ καὶ Ταααμ.
υἱοὶ δὲ Σουταλααμ· Εδεμ. 21 υἱοὶ δὲ Βενιαμιν· Βαλα καὶ Χοβωρ 21
καὶ Ασβηλ. ἐγένοντο δὲ υἱοὶ Βαλα· Γηρα καὶ Νοεμαν καὶ Αγχις καὶ
Ρως καὶ Μαμφιν καὶ Οφιμιν· Γηρα δὲ ἐγέννησεν τὸν Αραδ. 22 οὗτοι 22
υἱοὶ Ραχηλ, οὓς ἔτεκεν τῷ Ιακωβ· πᾶσαι ψυχαὶ δέκα ὀκτώ. — 23 υἱοὶ 23
δὲ Δαν· Ασομ. 24 καὶ υἱοὶ Νεφθαλι· Ασιηλ καὶ Γωυνι καὶ Ισσααρ 24
καὶ Συλλημ. 25 οὗτοι υἱοὶ Βαλλας, ἣν ἔδωκεν Λαβαν Ραχηλ τῇ 25
θυγατρὶ αὐτοῦ, ἣ ἔτεκεν τούτους τῷ Ιακωβ· πᾶσαι ψυχαὶ ἑπτά. —
26 πᾶσαι δὲ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ Ιακωβ εἰς Αἴγυπτον, οἱ ἐξελ- 26
θόντες ἐκ τῶν μηρῶν αὐτοῦ, χωρὶς τῶν γυναικῶν υἱῶν Ιακωβ,
πᾶσαι ψυχαὶ ἑξήκοντα ἕξ. 27 υἱοὶ δὲ Ιωσηφ οἱ γενόμενοι αὐτῷ ἐν 27
γῇ Αἰγύπτῳ ψυχαὶ ἐννέα. πᾶσαι ψυχαὶ οἴκου Ιακωβ αἱ εἰσελθοῦ-
σαι εἰς Αἴγυπτον ἑβδομήκοντα πέντε.
28 Τὸν δὲ Ιουδαν ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ πρὸς Ιωσηφ συν- 28
αντῆσαι αὐτῷ καθ᾽ Ἡρώων πόλιν εἰς γῆν Ραμεσση. 29 ζεύξας δὲ 29
Ιωσηφ τὰ ἅρματα αὐτοῦ ἀνέβη εἰς συνάντησιν Ισραηλ τῷ πατρὶ
αὐτοῦ καθ᾽ Ἡρώων πόλιν καὶ ὀφθεὶς αὐτῷ ἐπέπεσεν ἐπὶ τὸν τρά-
χηλον αὐτοῦ καὶ ἔκλαυσεν κλαυθμῷ πλείονι. 30 καὶ εἶπεν Ισραηλ 30
πρὸς Ιωσηφ Ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν
σου· ἔτι γὰρ σὺ ζῇς. 31 εἶπεν δὲ Ιωσηφ πρὸς τοὺς ἀδελφοὺς 31
αὐτοῦ Ἀναβὰς ἀπαγγελῶ τῷ Φαραω καὶ ἐρῶ αὐτῷ Οἱ ἀδελφοί
μου καὶ ὁ οἶκος τοῦ πατρός μου, οἳ ἦσαν ἐν γῇ Χανααν, ἥκασιν
πρός με· 32 οἱ δὲ ἄνδρες εἰσὶν ποιμένες — ἄνδρες γὰρ κτηνοτρόφοι 32
ἦσαν — καὶ τὰ κτήνη καὶ τοὺς βόας καὶ πάντα τὰ αὐτῶν ἀγειόχασιν.

12 ασρων M] -ωμ A || 13 ιασουφ A† || 14 αλλων M] ασρων A || 15 θυγατερες M] pr. αι A || 17 ιεσουα] ιεσσαι A† | σαρα] σααρ A† | χοβωρ A || 28 αυτου] -των A† || 29 πλειονι] πιονι B*† || 30 επει] + δη B†